κατὰ παίδευσιν ὁδῶν δι' ὧν ἐνδείκνυσθαι τὰ λεγόμενα ἀνάγκη, συνέψεσθε.

Πρῶτον μὲν δὴ πῦρ καὶ γῆ καὶ ὕδωρ καὶ ἀὴρ ὅτι σώματά ἐστι, δῆλόν που καὶ παντί· τὸ δὲ τοῦ σώματος εἶδος πᾶν καὶ βάθος ἔχει. τὸ δὲ βάθος αὖ πᾶσα ἀνάγκη τὴν ἐπίπεδον περιειληφέναι φύσιν· ἡ δὲ ὀρθὴ τῆς ἐπιπέδου βάσεως ἐκ τριγώνων συνέστηκεν. τὰ δὲ τρίγωνα πάντα ἐκ δυοῖν ἄρ-
d χεται τριγώνοιν, μίαν μὲν ὀρθὴν ἔχοντος ἑκατέρου γωνίαν, τὰς δὲ ὀξείας· ὧν τὸ μὲν ἕτερον ἑκατέρωθεν ἔχει μέρος γωνίας ὀρθῆς πλευραῖς ἴσαις διῃρημένης, τὸ δ' ἕτερον ἀνίσοις ἄνισα μέρη νενεμημένης. ταύτην δὴ πυρὸς ἀρχὴν καὶ τῶν ἄλλων σωμάτων ὑποτιθέμεθα κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι· τὰς δ' ἔτι τούτων ἀρχὰς ἄνωθεν θεὸς οἶδεν καὶ ἀνδρῶν ὃς ἂν ἐκείνῳ φίλος ᾖ. δεῖ δὴ λέγειν ποῖα
e κάλλιστα σώματα γένοιτ' ἂν τέτταρα, ἀνόμοια μὲν ἑαυτοῖς, δυνατὰ δὲ ἐξ ἀλλήλων αὐτῶν ἄττα διαλυόμενα γίγνεσθαι· τούτου γὰρ τυχόντες ἔχομεν τὴν ἀλήθειαν γενέσεως πέρι γῆς τε καὶ πυρὸς τῶν τε ἀνὰ λόγον ἐν μέσῳ. τόδε γὰρ οὐδενὶ συγχωρησόμεθα, καλλίω τούτων ὁρώμενα σώματα εἶναί που καθ' ἓν γένος ἕκαστον ὄν. τοῦτ' οὖν προθυμητέον, τὰ διαφέροντα κάλλει σωμάτων τέτταρα γένη συναρμόσασθαι καὶ φάναι τὴν τούτων ἡμᾶς φύσιν ἱκανῶς εἰληφέναι.
54 τοῖν δὴ δυοῖν τριγώνοιν τὸ μὲν ἰσοσκελὲς μίαν εἴληχεν φύσιν, τὸ δὲ πρόμηκες ἀπεράντους· προαιρετέον οὖν αὖ τῶν ἀπείρων τὸ κάλλιστον, εἰ μέλλομεν ἄρξεσθαι κατὰ τρόπον. ἂν οὖν τις ἔχῃ κάλλιον ἐκλεξάμενος εἰπεῖν εἰς τὴν τούτων σύστασιν, ἐκεῖνος οὐκ ἐχθρὸς ὢν ἀλλὰ φίλος κρατεῖ· τιθέμεθα δ' οὖν τῶν πολλῶν τριγώνων κάλλιστον ἕν, ὑπερβάντες τἆλλα, ἐξ οὗ τὸ ἰσόπλευρον τρίγωνον ἐκ τρίτου συνέστηκεν.

c 2 ἐνδείκνυσθαι F Y : ἐνδείκνυσθε A y d 2 τὰς δὲ A : τὰς δὲ δύο F Y d 5 ὑποτιθέμεθα A F : ὑποτιθώμεθα Y : ὑποθώμεθα Iustinus e 2 ἄττα A Y Philop. : αὐτὰ F e 5 συγχωρησόμεθα F et fecit A²: συγχωρησώμεθα A (ut vid.) Y a 3 μέλλομεν F Y : μέλλοιμεν A ἄρξεσθαι A Y : ἄρξασθαι F et fecit A² (α s. v.)





me slijediti, jer po obrazovanju imate udjela u putovima obrazlaganja kojima je nužno dokazivati ono što se govori.

Prije svega, zacijelo je svakomu jasno da su vatra, zemlja, voda i zrak tijela. A cijela vrsta tijela ima i dubinu. Nužno je opet i to da sva dubina obuhvaća narav površine, a ravna osnovica plohe da se sastoji od trokutā. Svi trokuti pak počinju od dvaju trokuta, od kojih svaki ima jedan ravan kut, a druge kose. Od ovih jedan
na obje strane ima jednak dio pravoga kuta, zbog toga što je za- d
tvoren jednakim stranicama, dok drugi zbog nejednakih stranica ima nejednake dijelove pravoga kuta. Pretpostavit ćemo da je to počelo vatre i ostalih tijela, krećući se putom u skladu s vjerojatnim govorom zajedno s nužnošću. A počela koja su još i iznad tih zna bog i među ljudima onaj koji bi mu bio drag.[139] Treba dakle kazati kakva bi to četiri tijela postajala, nejednaka jedna drugima, ali time što se dijelom razlažu sposobna jedna iz drugih e
postajati. Dokučimo li to, imat ćemo istinu o postanku zemlje, vatre i onih što su prema razmjeru u sredini među njima. Jer nikomu nećemo dopustiti tvrdnju da su tijela koja se gledaju ljepša od tih tijela kod kojih svako pojedino odgovara jednom rodu. Dakle, treba nastojati uskladiti zajedno ta četiri roda tijelā koja se ističu ljepotom te reći da smo njihovu narav za nas dovoljno shvatili. Od ona dva trokuta jedan je, naime onaj jednakokračni, dobio jednu narav, a onaj izduženi beskonačne. Moramo dakle opet 54
među beskonačnima odabrati najljepše, ako hoćemo na pravi način započeti. A ako bi netko mogao, izabravši, ustvrditi da je neki za sastavljanje tih tijela ljepši, taj će nas pobijediti, ne kao protivnik, već kao prijatelj. Dakle, postavljamo da je od mnogih trokuta najljepši jedan, preskačući ostale, naime onaj koji, ako se udvostruči, sastavlja kao treći jedan jednakostraničan trokut.